# TEZAUR LITURGIC

## 7 FEBRUARIE

# SLUJBA SF.CUVIOS LUCA DE LA STIRION

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 07 ΦΕΒΡΟΥΑΡΙΟΥ

# ΜΝΗΜΗ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΛΟΥΚΑ ΤΟΥ ΕΝ ΣΤΕΙΡΙΩ

# ΑΚΟΛΟΥΘΙΑ

## ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

Εις το Κύριε εκέκραξα, ιστώμεν στίχους δ’ . Προσόμοια Στιχηρά.

Ήχος α’ . Πανεύφημοι Μάρτυρες.

Προφρόνως συνέλθωμεν οι πιστοί, Λουκά του θεόφρονος, συνεορτάσαι την κοίμησιν, ο γαρ Θεός ημών, εν τη μνήμη τούτου, παρέχει δωρήματα, τοις πάσι και δεινών απολύτρωσιν, κατακαμπτόμενος, εν ελέει ταις λιταίς αυτού, ος πρεσβεύει υπέρ των υμνούντων αυτόν.

Προκρίνας τα μένοντα σοφώς, των ρευστών αείμνηστε, εν ουρανοίς συναπήλαυσας, αΰλοις τάξεσι, Λουκά θεοφόρε, της χαράς της κρείττονος. Διόπερ ως Θεώ παριστάμενος, τούτον ικέτευε, δωρηθήναι ταις ψυχαίς ημών την ειρήνην και το μέγα έλεος.

Θεράπων και δόκιμος Χριστού, και θερμός τω Πνεύματι, επί της γης αναδέδειξαι, θεομακάριστε, εντολάς γαρ θείας, ακριβως εφύλαξας. Διο συγκληρονόμον σε έδειξε, Λουκά θεσπέσιε, των αρρήτων αγαθών αυτού, βασιλείας ουρανών της κρείττονος.

Πραότητος γνώμην αψευδής, ακτησίας αύθίς τε, και κατανύξεως πέφηνας, κανών μακάριε, ησυχία τύπος, ακριβής και μέτριος, και πάσης αρετής άλλης έμπλεως. Διο ικέτευε, δωρηθήναι, ταις ψυχαίς ημών, την ειρήνην και το μέγα έλεος.

Δόξα. Ήχος β .

Δαβιτικώς ώσπερ φοίνιξ, εν τω οίκω του Θεού εξήνθησας, ηγιασμένε Λουκά, και ωσεί κέδρος επλήθυνας, η εν τω Λιβάνω τους φοιτητάς σου, ους περιφρούρει και σκέπε από βλάβης παντοίας. Σε γαρ κεκτήμεθα προς Θεόν παρρησίαν, καύχημα και σκέπην και ασφαλές προπύργιον. Διο πρέσβευε Χριστώ τω Θεώ, ειρηνεύσαι τον κόσμον, και σώσαι τας ψυχάς ημών.

Και νυν. Θεοτοκίον.

Την πάσαν ελπίδα μου...

Είσοδος. Φως ιλαρόν. Προκείμενον της ημέρας.

Εις τον στίχον. Ήχος α' . Των ουρανίων ταγμάτων.

Ο υπερόπτης των κάτω και παρεπίδημος, ο εραστής των άνω, και ερημοπολίτης, Λουκάς ο θεοφόρος πάντας ημάς, εορτάσαι προτρέπεται, της προς Θεόν εκδημίας αυτού πιστώς, την ημέραν την σωτήριον.

Στ.: Τίμιος εναντίον Κυρίου...

Έξω σαρκός και του κόσμου ταις αρεταίς γεγονώς, και δι' αυτών δοξάσας, επί γης δια βίου, τον Κύριον της δόξης Πάτερ σοφέ, κατ' αξίαν δεδόξασαι, και ιαμάτων εδείχθη θεία πήγη, παρ' Αυτού Λουκά θεόληπτε.

Στ.: Δίκαιος ως φοίνιξ ανθήσει...

Μέτριος άκακος πράος απλούς ησύχιος, ως χρηματίσας Πάτερ, υπέρ άνθρωπον όντως, και άϋλος εν ύλη οίκος Θεού, καθωράθης επάξιος, τας εξ Αυτού προϊούσας σοι δωρεάς, συμπαθώς διαπορθμεύων ημίν.

Δόξα. Ήχος πλ. β' .

Τους μεγάλους σου καμάτους, ευφημούμεν Λουκά Πατήρ ημών, δι' ων επαξίως τω Θεώ ευηρέστησας. Πάσης γαρ της προσκαίρου ζωής το άστατον ουδέν ηγησάμενος, την ουράνιον επόθησας του Δεσπότου βασιλείαν, Χριστόν μόνον ελόμενος, τον σε δοξάσαντα μακάριε.

Και νυν. Θεοτοκίον.

Θεοτόκε συ ει η άμπελος...

Νυν απολύεις. Τρισάγιον.

Απολυτίκιον. Ήχος δ' . αχύ προκατάλαβε.

Σταυρόν εκ νεότητος αναλαβόμενος, πορείαν διήνυσας, στενήν και επίπονον, μακρύνας εν όρεσιν· όθεν αυλιζόμενος εις ευρύχωρον πλάτος, δόξης και βασιλείας, του Θεού και Σωτήρος, Λουκά θεομακάριστε, υπέρ ημών αεί ικέτευε.

Δόξα. Και νυν. Θεοτοκίον.

Το απ' αιώνος απόκρυφον...

Απόλυσις.

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Προοιμιακός, μακάριος ανήρ. Εις δε το Κύριε εκέκραξα, ιστώμεν στίχους ι’ , και ψάλλομεν της εορτής δ’ .

Ήχος α’. Γερμανού Πατριάρχου.

Λέγε Συμεών, τίνα φέρων εν αγκάλαις, εν τω ναώ αγάλλη; τίνι κράζεις και βοάς; Νυν ηλευθέρωμαι· είδον γαρ τον Σωτήρά μου· Ούτός εστιν, ο εκ Παρθένου τεχθείς, ούτός εστιν ο εκ Θεού Θεός Λόγος, ο σαρκωθείς δι' ημάς, και σώσας τον άνθρωπον· Αυτόν προσκυνήσωμεν. (Δις)

Δέχου Συμεών, ον υπό τον γνόφον, Μωσής νομοθετούντα, προεώρα εν Σινά, βρέφος γενόμενον, νόμω υποταττόμενον. Ούτός εστιν, ο δια νόμου λαλήσας ούτός εστιν, ο εν Προφήταις ρηθείς, ο σαρκωθείς δι' ημάς, και σώσας τον άνθρωπον· Αυτόν προσκυνήσωμεν.

Δεύτε και ημείς, άσμασιν ενθέοις, Χριστώ συναντηθώμεν, και δεξώμεθα αυτόν, ου το σωτήριον ο Συμεών εώρακεν. Ούτός εστιν, ον ο Δαυΐδ καταγγέλλει ούτός εστιν, ο εν Προφήταις λαλήσας, ο σαρκωθείς δι' ημάς, και νόμω φθεγγόμενος· Αυτόν προσκυνήσωμεν.

Και του Οσίου στ’ . Ήχος πλ. β’ . Όλην αποθέμενοι.

Σοφώς κατενόησας, ως εμπαθής τε και δούλη, Λουκά πανaοίδιμε, και τους ταύτην παίζουσα μετιόντας εστί, μηδαμώς μένουσα, μετά την έξοδον, την εντεύθεν προς τον Κύριον, η ευδιάλυτος αύτη, και ροώδης, και πρόσκαιρος, ζωή τε και κατάστασις, όθεν και της

κρείττονος γέγονας, προς ην απευθύνων, αγχίνους ως κριτής τε και σοφός, βίον και λόγον, και πράξίν τε Χριστώ ευηρέστησας.

Σταυρόν εκ νεότητος, αναλαβών και την τρίβον, Λουκά την επίτομον, και στενήν διώδευσας εμμελέστατα, τη σεπτή μάλιστα, πειθαρχών ένδοξε, διατάξει του καλέσαντος. Διο κατάλληλον, εύρες των καμάτων την έκβασιν, και άξιον το έπαθλον, την εν ουρανοίς βασιλείαν Χριστού, και την μετά πάντων Αγίων εν φωτί διαγωγήν, μεθ' ων απαύστως ικέτευε υπέρ των τιμώντων σε.

Θαύματος υπόθεσις, άπασιν ήσθα θεόφρον, και μετά του σώματος, επί γης το πρότερον καθορώμενος, και σκοπών Όσιε, και βιών ένθεα, και τοις λόγοις και τοις πράγμασι. Μέτριος πράος γαρ, ώφθης και ηδύς και μειλίχιος, και άγαν ευπροσήγορος, και προφητικός και απλούστατος, πολλώ δε νυν μάλλον, ηνίκα προς Θεόν αναδραμών, εθαυμαστώθης και έλαβες, χάριν των ιάσεων.

Όλως εκ νεότητος, ακολουθήσας Κυρίω, γονικήν κατέλιπες, ένδοξε προσπάθειαν, και στοργήν κοσμικήν, και ερήμους ώκησας, ασκητών τον βίον, εξασκών εν ταπεινότητι, ον και ετέλεσας ζέοντι τω πνεύματι Όσιε, καλώς εμπορευσάμενος, νείμας σου τα όντα τοις πένησι, και τον μαργαρίτην, τον θείον εξωνούμενος Χριστόν, ου και τυχών της εφέσεως, έστης αξιάγαστε.

Έφερες τυπτόμενος, ονειδιζόμενος Πάτερ, διαπληκτιζόμενος, παρά του τεκόντος σε δια Κύριον, ον επόθεις ένδοξε, ου τρωθείς τω ποθώ, τα τερπνά ουδέν λελόγισαι. Μητρός δε στέρησιν, και την ξενιτείαν ηγάπησας, και σχήμα ενεδέδυσο, το των μοναχών

ιερώτατε, αλλά φανεροί σε, Θεός και μη βουλόμενον ευχαίς, ταις μητρικαίς Λουκά Όσιε, καμθείς ο φιλάνθρωπος.

Βίον εκτελέσας σου, τον ιερόν πανιέρως, θαύματα ετέλεσας, ιερέ εξαίσια και παράδοξα, του Θεού σοι νείμαντος, αρραβώνα ένθεον, και προ της ανταποδόσεως, των θείων πόνων σου, νέμει δε και στέφος σοι άφθαρτον, και δόξαν αιωνίζουσαν, όταν ως Κριτής παραγέν ηται. Αυτόν ουν δυσώπει, ρυσθήναι τους υμνούντάς σε ημάς, από παντοίας κακώσεως, Λουκά πανσεβάσμιε.

Δόξα. Ήχος πλ. δ’ .

Των μοναστών τα πλήθη, τον καθηγητήν σε τιμώμεν, Λουκά Πατήρ ημών, δια γαρ σου την τρίβον, την όντως ευθείαν πορεύεσθαι έγνωμεν. Μακάριος ει τω Χριστώ δουλεύσας, και εχθρού θριαμβεύσας την δύναμιν, Αγγέλων συνόμιλε, Οσίων ομόσκηνε, και δικαίων, μεθ’ ων πρέσβευε τω Κυρίω, ελεηθήναι τας ψυχάς ημών.

Και νυν... Ήχος πλ. δ’. Ανδρέου Κρήτης

Ο τοις Χερουβίμ εποχούμενος, και υμνούμενος υπό των Σεραφίμ, σήμερον τω θείω Ιερώ κατά νόμον προσφερόμενος, πρεσβυτικαίς ενθρονίζεται αγκάλαις, και υπό Ιωσήφ εισδέχεται δώρα θεοπρεπώς, ως ζεύγος τρυγόνων την αμίαντον Εκκλησίαν, και των εθνών τον νεόλεκτον λαόν, περιστερών δε δύο νεοσσούς, ως αρχηγός Παλαιάς τε και Καινής. Του προς αυτόν χρησμού δε Συμεών, το πέρας δεξάμενος, ευλογών την Παρθένον, Θεοτόκον Μαρίαν, τα του πάθους σύμβολα του εξ αυτής προηγόρευσε, και

παρ' αυτού εξαιτείται την απόλυσιν βοών· Νυν απολύεις με Δέσποτα, καθώς προεπηγγείλω μοι, ότι είδόν σε το προαιώνιον φως, και Σωτήρα Κυριον του Χριστωνύμου λαού.

Είσοδος. Φως ιλαρόν, το Προκείμενον της ημέρας, και τα Αναγνώσματα.

Σοφίας Σολομώντος το Ανάγνωσμα. (Κεφ. 4, 7-15)

Δικαιος εάν φθάση τελευτήσαι, εν αναπαύσει έσται· γήρας γαρ τίμιον, ου το πολυχρόνιον, ουδέ αριθμώ ετών μεμέτρηται. Πολιά δε εστι φρόνησις ανθρώποις, και ηλικία γήρως, βίος ακηλίδωτος. Ευάρεστος Θεώ γενόμενος, ηγαπήθη, και ζων μεταξύ αμαρτωλών, μετετέθη. Ηρπάγη, μη κακία αλλάξη σύνεσιν αυτού, η δόλος απατήση ψυχήν αυτού. Βασκανία γαρ φαυλότητος αμαυροί τα καλά, και ρεμβασμός επιθυμίας μεταλλεύει νουν άκακον. Τελειωθείς εν ολίγω, επλήρωσε χρόνους μακρούς· αρεστή γαρ ην Κυρίω η ψυχή αυτού· δια τούτο έσπευσεν εκ μέσου πονηρίας. Οι δε λαοί ιδόντες και μη νοήσαντες, μηδέ θέντες επί διανοία το τοιούτον, ότι χάρις και έλεος εν τοις οσίοις αυτού, και επισκοπή εν τοις εκλεκτοίς αυτού.

Σοφίας Σολομώντος το Ανάγνωσμα. (Κεφ. 3, 1-9)

Δικαίων ψυχαί εν χειρί Θεού, και ου μη άψηται αυτών βάσανος. Έδοξαν εν οφθαλμοίς αφρόνων τεθνάναι. Και ελογίσθη κάκωσις η έξοδος αυτών, και η αφ' ημών πορεία σύντριμμα, οι δε εισιν εν ειρήνη. Και γαρ εν όψει ανθρώπων εάν κολασθώσιν, η ελπίς αυτών αθανασίας πλήρης. Και ολίγα παιδευθέντες, μεγάλα

ευεργετηθήσονται, ότι ο Θεός επείρασεν αυτούς, και εύρεν αυτούς αξίους εαυτού. Ως χρυσόν εν χωνευτηρίω εδοκίμασεν αυτούς, και ως ολοκάρπωμα θυσίας προσεδέξατο αυτούς. Και εν καιρώ επισκοπής αυτών αναλάμψουσι, και ως σπινθήρες εν καλάμη διαδραμούνται. Κρινούσιν έθνη, και κρατήσουσι λαών και βασιλεύσει αυτών Κυριος εις τους αιώνας, οι πεποιθότες επ' αυτόν, συνήσουσιν αλήθειαν, και οι πιστοί εν αγάπη προσμενούσιν αυτώ, ότι χάρις και έλεος εν τοις οσίοις αυτού, και επισκοπή εν τοις εκλεκτοίς αυτού.

Σοφίας Σολομώντος το Ανάγνωσμα. (ε΄ 15-23, στ΄ 1-3).

Δίκαιοι εις τον αιώνα ζώσι, και εν Κυρίω ο μισθός αυτών, και η φροντίς αυτών παρά Υψίστω. Δια τούτο λήψονται το βασίλειον της ευπρεπείας, και το διάδημα του κάλλους εκ χειρός Κυρίου· ότι τη δεξιά αυτού σκεπάσει αυτούς, και τω βραχίονι υπερασπιεί αυτών. Λήψεται πανοπλίαν τον ζήλον αυτού και οπλοποιήσει την κτίσιν εις άμυναν εχθρών. Ενδύσεται θώρακα δικαιοσύνην και περιθήσεται κόρυθα κρίσιν ανυπόκριτον. Λήψεται ασπίδα ακαταμάχητον, οσιότητα· οξυνεί δε απότομον οργήν εις ρομφαίαν. Συνεκπολεμήσει αυτώ ο κόσμος επί τους παράφρονας· πορεύσονται εύστοχοι βολίδες αστραπών, και ως από ευκύκλου τόξου, των νεφών, επί σκοπόν αλούνται, και εκ πετροβόλου θυμού πλήρεις ριφήσονται χάλαζαι. Αγανακτήσει κατ  αὐτῶν ύδωρ θαλάσσης· ποταμοί δε συγκλύσουσιν αποτόμως. Αντιστήσεται αυτοίς πνεύμα δυνάμεως, και ως λαίλαψ εκλικμήσει αυτούς, και

ερημώσει πάσαν την γην ανομία, και η κακοπραγία περιτρέψει θρόνους δυναστών. Ακούσατε ουν, Βασιλείς, και σύνετε· μάθετε Δικασταί περάτων γης· ενωτίσασθε οι κρατούντες πλήθους, και γεγαυρωμένοι επί όχλοις εθνών· ότι εδόθη παρά Κυρίου η κράτησις υμίν, και η δυναστεία παρά Υψίστου.

Εις την Λιτήν, Ιδιόμελα. Ήχος β' .

Δαβιτικώς ώσπερ φοίνιξ εν τω οίκω Κυρίου εξήνθησας, ηγιασμένε Λουκά, και ωσεί κέδρος η εν τω Λιβάνω τους φοιτητάς σου επλήθυνας, ους περιφρούρει και σκέπε από βλάβης παντοίας. Σε γαρ κεκτήμεθα προς Θεόν παρρησίαν, καύχημα και τείχος και ασφαλές προπύργιον. Διο πρέσβευε Χριστώ τω Θεώ ειρηνεύσαι τον κόσμον, και σώσαι τας ψυχάσς ημών.

Ο αυτός.

Σήμερον ο θεόπνευστος Λουκάς μεθίσταται του βίου. Σήμερον ο ουρανός εισδέχεται τον ουράνιον φωστήρα. Τα ουράνια τάγματα νυν γέγηθε, τον επίγειον όντα και ουράνιον. Χορός Πατέρων αγάλλεται, και Σε τον Θεόν μεγαλύνει αεί, ημείς δε οι τούτου μύσται βοώμεν· Πρέσβευε υπέρ ημών Πάτερ αγιώτατε.

Ήχος γ' .

Πατέρων αγλάϊσμα, και μοναστών εγκαλλώπισμα, και ασκητών σεμνολόγημα, πάντων των Ναζηραίων μέγιστον καύχημα, θείος κανών εις αρετήν, Λουκά, γεγονώς, και τύπος ακριβείας, οδηγός απλανής προς σωτηρίας οδόν, μη διαλίπης πρεσβεύειν υπέρ του ποιμνίου σου, μη παρόψοιο δεινώς κλονουμένους ημάς, παντοίαις

επιφοραίς του δράκοντος, αλλά πρόστηθι Πάτερ, και λύτρωσον συμφορών αμέτρων σους δούλους, και αξίωσον απρόσκοπτον διατελούντας, ζωήν ευαρεστείν τω Χριστώ.

Ήχος δ’ .

Πάτερ τρισόλβιε, συ της Τριάδος ιερόν τε και θείον γέγονας ενδιαίτημα. Ποθήσας γαρ την αρετήν έρωτι θείω, τα επίγεια πάντα, εις ουδέν λελόγισαι, και τον Σταυρόν επ’ ώμων αράμενος, τω Χριστώ προθύμως ηκολούθησας, και συμβασιλεύειν ηξιώθης, Λουκά παμμακάριστε, αλλά μη παύση πρεσβεύειν υπέρ των πίστει ευφημούντων σε.

Ο αυτός.

Έλαμψαν τα καλά σου έργα, ως ήλιος εν ουρανώ και επί γης, Χριστού θεράπον, Λουκά πανσεβάσμιε, ορθοδόξως γαρ εκήρυξας ημίν τη αληθή και άμωμον πίστιν Χριστού, διο ικέτευε Όσιε Πάτερ, εν τη μνήμη σου θεοφόρε, δωρηθήναι ημίν το μέγα έλεος.

Ήχος πλ. β’ .

Τους μεγάλους καμάτους ευφημούμεν Λουκά Πατήρ ημών, δι’ ων επαξίως τω Θεώ ευηρέστησας. Πάσης γαρ της προσκαίρου ζωής το άστατον ουδέν ηγησάμενος, την ουράνιον επόθησας του Δεσπότου βασιλείαν, Χριστόν μόνον ελόμενος, τον σε δοξάσαντα μακάριε.

Δόξα. Ήχος πλ. δ’ .

Καλλωπίζεται πατρίς η θρεψαμένη σε Πάτερ Λουκά μακάριε, και επαγάλλεται χαρμονικώς σήμερον εν τη πανηγύρει, κηρύττουσα τα σα κατορθώματα, το δε σώμά σου το ιερόν, ως θησαύρισμα

κατέχουσα βοά σοι· Μη ελλίπης πρεσβεύων υπέρ των πίστει εκτελούντων το ιερόν σου μνημόσυνον.

Και νυν. Της εορτής. Γερμανού, οι δε Ανατολίου

Ο παλαιός ημερών, νηπιάσας σαρκι, υπό Μητρός Παρθένου τω Ιερώ προσάγεται, του οικείου νόμου πληρών το επάγγελμα, ον Συμεών δεξάμενος έλεγε. Νυν απολύεις εν ειρήνη κατά το ρήμά σου τον δούλόν σου· είδον γαρ οι οφθαλμοί μου το σωτήριόν σου Κύριε.

Η δε, συμφώνως τω Τυπικώ, ου ψάλλεται η εορτή, το παρόν Θεοτοκίον.

Χαίροις το εργαστήριον Θεού του πανυψίστου. Χαίροις αείφωτε Μαρία θεονύμφευτε. Χαίροις η παγκόσμιος χαρά των ορθοδόξων. Πρέσβευε τω εκ σου τεχθέντι σώσαι το γένος ημών.

Στιχηρά. Ήχος πλ. δ’ . Ω του παραδόξου θαύματος.

Πάθη, ψυχής τε και σώματος, δι’ εγκρατείας σοφέ, και συντόνου ασκήσεως, υποτάξας έφθασας, αρετών εις ακρώρειαν, και γνόφον θείον, ώσπερ το πάλαι Μωσής, εισέδυς δόξαν ενοπτριζόμενος, ήνπερ επόθησας κατιδείν θεσπέσιε Πάτερ Λουκά, και Θεόν εώρακας, ώσπερ ιδείν δυνατόν.

Στ.: Τίμιος εναντίον Κυρίου…

Χάριν, μεγίστην εισδέδεξαι, παρά Χριστού του Θεού, κατ’ αξίαν των πόνων σου, προοράν τα μέλλοντα, και προλέγειν σαφέστατα, ιάσθαι νόσους, διώκειν δαίμονας εν τω καιρώ δε της προσευχής

από γης, ω ξένου θαύματος! Εις αέρα αίρεσθαι σωματικού, πάχους μη κωλύοντός σε παναοίδιμε.

Στ.: Δίκαιος ως φοίνιξ ανθήσει...

Σοι, ως δικαίω θεσπέσιε, φαιδρόν ανέτειλε φως, ως ευθεί τη καρδία δε, ευφροσύνη άληκτος, εις αιώνα δεδώρηται, τους απεράντους, ης συν Αγγέλων χοροίς, επαπολαύων και ημών μέμνησο, των προσφευγόντων σοι, και πιστώς υμνούντων σε των ασκητών, θείον εγκαλλώπισμα και ακροθίνιον.

Δόξα. Ήχος πλ. α’ .

Όσιε Πάτερ Λουκά πανσεβάσμιε, το της Ελλάδος καύχημα, των ασκητών ωραιότης, ουκ έδωκας ύπνον σοις οφθαλμοίς εις κόρον, ουδέ τοις βλεφάροις σου νυσταγμόν, έως σου την ψυχήν και το σώμα, των παθών ηλευθέρωσας, και σεαυτόν ητοίμασας του Αγίου Πνεύματος καταγώγιον. Όθεν και τα πόρρω, ως ενεστώτα προέλεγες, και της ομοουσίου Τριάδος θεράπων γενόμενος, τρισόλβιε Πατήρ ημών, πρέσβευε υπέρ ημών εκτενώς προς Κύριον.

Και νυν. Της εορτής. Ανδρέου Κρήτης.

Ερευνάτε τας Γραφάς, καθως είπεν εν Ευαγγελίοις Χριστός ο Θεός ημών· εν αυταίς γαρ ευρίσκομεν αυτόν, τικτόμενον και σπαργανούμενον, τιθηνούμενον και γαλακτοτροφούμενον, περιτομήν δεχόμενον, και υπό Συμεών βασταχθέντα, ου δοκήσει ουδέ φαντασία, αλλ' αληθεία τω κόσμω φανέντα, προς ον βοήσωμεν· ο προ αιώνων Θεός, δόξα σοι.

Νυν απολύεις. Τρισάγιον.

Απολυτίκιον. Ήχος δ' . Ταχύ προκατάλαβε.

Σταυρόν εκ νεότητος αναλαβόμενος, πορείαν διήνυσας, στενήν και επίπονον, μακρύνας εν όρεσιν· όθεν αυλιζόμενος εις ευρύχωρον πλάτος, δόξης και βασιλείας, του Θεού και Σωτήρος, Λουκά θεομακάριστε, υπέρ ημών αεί ικέτευε.

Δόξα. Της εορτής.

Είτα, το Θεοτόκε Παρθένε, και η ευλόγησις των άρτων. Είτα τίθεται ανάγνωσις εις τον βίον του Οσίου. Μετά την ανάγνωσιν διανέμεται ο ευλογηθείς άρτος τοις αδελφοίς και ανά ποτήριον οίνου ευλογίας χάριν και τιμής του Αγίου και ουχί πλέον. Και μετά τούτο αρχόμεθα του Εξαψάλμου.

## ΟΡΘΡΟΣ

Μετά την α' στιχολογίαν,

κάθισμα. Ήχος πλ. δ' . Την Σοφίαν και Λόγον.

Απαλών εξ ονύχων Πάτερ σοφέ, ακρασίαν μισήσας την βλαβεράν, επόθησας κάλλιστα, την καθόλου εγκράτειαν, ης καρπός αγνεία, και άκρα απάθεια, δι' ων θεραπεύσας εφάνης τον κτίσαντα, όθεν και την χάριν, παρ' Αυτού εκομίσω, του παύειν τα νοσήματα, και διώκειν τα πνεύματα, εξ ανθρώπων μακάριε, πρεσβεύων εκτενώς και ημάς, τους πιστώς υμνούντάς σε, φυλάττεσθαι αμετόχους παντοίων κακώσεων.

Δόξα. Και νυν. Προεόρτιον. Αυλών ποιμενικών.

Ετέχθης επί γης, ο προάναρχος Λόγος, προσήχθης τω ναώ, ο ακατάληπτος, χαίρων δε ο πρεσβύτης, εν ταις αγκάλαις σε υπεδέξατο, κράζων· Νυν απολύεις ον επεσκέψω κατά το ρήμά σου, ο ευδοκήσας σώσαι ως Θεός, το γένος των ανθρώπων.

Η το Θεοτοκίον. Την Σοφίαν και Λόγον.

Χαριστήριον αίνον χρεωστικώς, ως η χήρα εκείνη τα δύο λεπτά, προσφέρω σοι Δέσποινα, υπέρ πασών των χαρίτων σου. Συ γαρ ώφθη σκέπη ομού και βοήθεια, πειρασμών και θλίψεων, αεί με εξαίρουσα, όθεν ως εκ μέσου φλογιζούσης καμίνου, ρυσθείς των θλιβόντων με εκ καρδίας κραυγάζω σοι· Θεοτόκε βοήθει με, πρεσβεύουσα Χριστώ τω Θεώ, των πταισμάτων άφεσιν δοθήναί μοι. Σε γαρ έχω ελπίδα ο δούλός σου.

Μετά την β’ στιχολογίαν. Όμοιον.

Τω πυρί της αγάπης του Ιησού, πυρωθείς την καρδίαν όλον σαυτόν, Αυτώ ανατέθηκας, τοις αυτού βαίνων ίχνεσιν, εγκρατείας πόνω το σώμα δουλούμενος, την ψυχήν πιαίνων παννύχοις δεήσεσιν, όθεν και τον δρόμον, ευαρέστως τελέσας, λυθείς τε του σώματος, προς Αυτόν εξεδήμησας Λουκά θείε Πατήρ ημών, αεί εν ευφροσύνη τελών, Οσίων δικαίων Μαρτύρων τε, μεθ’ ων πρέσβευε σωθήναι τους δούλους σου.

Δόξα. Και νυν. Προεόρτιον. Κατεπλάγη Ιωσήφ.

Νηπιάζει δι' εμέ, ο Παλαιός των ημερών, καθαρσίων κοινωνεί, ο καθαρώτατος Θεός, ίνα την σάρκα πιστώση μου, την εκ Παρθένου.

Και ταύτα Συμεών μυσταγωγούμενος, επέγνω τον αυτόν, Θεόν φανέντα σαρκι, και ως ζωήν ησπάζετο, και χαίρων, πρεσβυτικώς ανεκραύγαζεν· Απόλυσόν με· σε γαρ κατείδον, την ζωήν των απάντων.

Η Θεοτοκίον. Την Σοφίαν και Λόγον.

Ο των όλων Δεσπότης και Ποιητής, εξ αχράντου σου μήτρας σάρκα λαβών, προστάτην Σε έδειξε, των ανθρώπων Πανάχραντε. Δια τούτο πάντες προς Σε καταφεύγομεν, ιλασμόν πταισμάτων αιτούμενοι Δέσποινα, και αιωνιζούσης, λυτρωθήναι βασάνου, και πάσης κολάσεως, της εκεί Σε δεόμεθα, ίνα πίστει βοώμέν σοι· Πρέσβευε Χριστώ τω Θεώ, του δοθήναι πάσι την άφεσιν, τοις πιστώς προσιούσι τη σκέπη Σου.

Μετά τον Πολυέλεον, κάθισμα. Όμοιον.

Αναβάς εις το όρος των αρετών, και ασκήσας οσίως Πάτερ Λουκά, τον νουν ανεπτέρωσας από γης προς ουράνια, και προς πλάτος θείον, πανσόφως πτερούμενος, λογισμώ τελείω, ανήλθες μακάριε, όθεν τους εις βάθος, πειρασμών εμπεσόντας, ανείλκυσας Όσιε, ενεργών τα τεράστια, θεοφόρε Πατήρ ημών· πρέσβευε Χριστώ τω Θεώ, των πταισμάτων άφεσιν δωρήσασθαι, τοις εορτάζουσι πόθω την αγίαν μνήμην σου.

Δόξα. Και νυν. Προεόρτιον. Κατεπλάγη Ιωσήφ.

Εν τω όρει τω Σινά, πάλαι κατείδε Μωϋσής, τα οπίσθια Θεού, και αμυδρώς θείας φωνής, κατηξιώθη εν γνόφω τε και θυέλλη, νυν δε Συμεών, τον σαρκωθέντα Θεόν, ατρέπτως δι' ημάς ενηγκαλίσατο,

και γεγηθώς ηπείγετο των τήδε, προς την ζωήν την αιώνιον· διο εβόα· Νυν απολύεις, τον δούλόν σου Δέσποτα.

Η Θεοτοκίον. Την Σοφίαν και Λόγον.

Ως παρθένον και μόνην εν γυναιξί, σε ασπόρως τεκούσα Θεόν σαρκί, πάσαι μακαρίζουσι γενεαί ανθρώπων. Το γαρ πυρ εσκήνωσεν εν σοι της θεότητος, και ως βρέφος θηλάζεις, τον Κτίστην και Κύριον, όθεν των Αγγέλων, και ανθρώπων το γένος, αξίως δοξάζομεν, τον πανάγιον Τόκον Σου. πρέσβευε Χριστώ τω Θεώ, των πταισμάτων άφεσιν δωρήσασθαι, τοις ανυμνούσιν αξίως την δόξαν σου.

Είτα, η ανάγνωσις εις τον βίον του Οσίου.

Οι αναβαθμοί· το α' αντίφωνον του δ' ἤχου.

Προκείμενον: Τίμιος εναντίον Κυρίου...

Στ.: Τί ανταποδώσωμεν τω Κυρίω...

Πάσα πνοή.

Ευαγγέλιον· εκ του κατά Ματθαίον· Είπεν ο Κύριος τοις εαυτού μαθηταίς· πάντα μοι παρεδόθη υπό του Πατρός μου...

Ο Ν' ψαλμός.

Δόξα: Ταις του σου Οσίου...

Και νυν: Ταις της Θεοτόκου...

Ιδιόμελον, ήχος β' . Στ.: Ελεήμον, ελέησόν με ο Θεός...

Όσιε Πάτερ, εκ βρέφους την αρετήν επιμελώς ασκήσας, όργανον γέγονας του Αγίου Πνεύματος, και παρ' Αυτού λαβών των θαυμάτων την ενέργειαν, έπεισας τους ανθρώπους, καταφρονείν

των ηδέων. Νυν δε τω φωτί καθαρώτερον ελλαμπόμενος τω θείω, φώτισον και ημών τας διανοίας, Λουκά Πάτερ Όσιε.

Οι Κανόνες· πρώτον της εορτής μετά του ειρμού εις στ · και οι δύο κανόνες του Αγίου εις η . Ει δε ου συμψάλλεται η εορτή, ο κανών της Θεοτόκου πρώτον, είτα του Αγίου.

Ο α’ κανὼν του Αγίου, ου η ακροστιχίς: Λουκάν γεραίρω, των μοναστών το κλέος.

Ωδή α’ . Ήχος πλ. δ’ . Ύγράν διοδεύσας.

Λαμπτήρα Χριστός σε φωτοειδή, φωτός απόρρήτου τοις αΰλοις μαρμαρυγαίς, αυγάζοντα πάντων τας καρδίας, Λουκά θεόφρον αναδείκνυσι.

Όλως από βρέφους αγιασθείς, Θεώ ανετέθης εκ νηδύος ως Σαμουήλ, και γνόφον εισέδυς των αρρητων, θεωριών ελλαμφθείς την διάνοιαν.

Υπέδυς γενναίως ως αριστεύς, το στάδιον μάκαρ των αγώνων θωρακισθείς, τη θεία δυνάμει του Σωτήρος, και τον αντίπαλον όφιν κατέρραξας.

Θεοτοκίον.

Κανίζεις τω ξένω σου τοκετώ, της φύσεως νόμους υπέρ λόγον και υπέρ νουν, εν μήτρα Παρθένε συλλαβούσα, τον Ποιητήν απάντων και Κύριον.

Ο β’ Κανὼν του Οσίου Λουκά, έχων ακροστιχίδα: Λουκάν επαινώ το κλέος της Ελλάδος. Αμήν.

Ωδή α’ Ήχος πλ. β’. Ως εν ηπείρω πεζεύσας ο Ισραήλ.

Λόγον μοι δίδου θεόπτα παρεστηκώς, θρόνω του Δεσπότου σου, ανυμνήσαι την φαιδράν, και φωσφόρον μνήμην σου Λουκά, διαλύσας την αχλύν της διανοίας μου.

Ολοσχερώς σε ποθήσας ο Ιερός, Σώτερ προς την άσκησιν, απεδύσατο στερρώς, θλίψεις μόχθους πόνους καρτερών, ανθ' ων εύρατο τρυφήν την ατελεύτητον.

Υπωπιάζων το σώμα Πατερ Λουκά, εγκρατεία πάντοτε, αγρυπνία συνεχεί, κακουχία πάση τε σοφώς, τας ορμάς των εμπαθών ηδονών έστησας.

Θεοτοκίον

Κυριοτόκε Παρθένε η τον Θεόν, εν σαρκί γεννήσασα, τον αχώρητον παντι, σαρκωθέντα οίκτω των βροτών, τυραννίδος με παθών δείξον υπέρτερον.

Ωδή γ’ . Συ ει το στερέωμα.

Άνωθεν η χάρις σοι, επιφοιτήσασα Όσιε, του αγαθού Πνεύματος δοχείον, ιερόν απειργάσατο.

Νέον ώσπερ άλλον σε, Λουκά απόστολον κήρυκα, η του Θεού νύμφη Εκκλησία, κεκτημένη αγάλλεται.

Γην εις πάσαν έδραμε, των θαυμασίων σου Άγιε, η αστραπή και των ιαμάτων τηλαυγώς η ενέγεια. Θεοτοκίον.

Θεοτοκίον.

Ένα δυσί φύσεσι, τον απερίληπτον τέτοκας της τριλαμπούς, Άχραντε Τριάδος, πανακήρατος μείνασα.

Ο β’κανὼν του Οσίου.Ουκ έστινΆγιος ως συ

Ανεπτερώθης τω θερμώ, έρωτι του Σωτήρος, και γονέων το φίλτρον, υπερείδες δι' αυτόν, και γέγονας ω Λουκά, ξένος πάντων των τερπνών μακάριε.

Ναόν Κυρίου σεαυτόν, απεργάσασθαι θέλων, ερημίας κατώκεις ως ο πάλαι Ηλιού, προς δαίμονας πολεμών· όθεν εύρες τέλος το μακάριον.

Εν πάση θεία εντολή, ευπειθής ως οικέτης, ανεδείχθης παμμάκαρ, καλώς αυτάς εκτελών, και ταπεινών σεαυτόν· όθεν ύψος έλαβες ουράνιον.

Θεοτοκίον

Παρθένε Μητηρ του Θεού, η τεκούσα τον Λογον, υπέρ λόγον οφθέντα, δι' ημάς όπερ ημείς, ικέτευε εκτενώς, αλογίας πάσης με λυτρώσασθαι.

Κάθισμα. Ήχος πλ. δ’ . Την Σοφίαν και Λόγον.

Από βρέφους ποθήσας την αρετήν, των ηδέων απέσχου πάντων σοφέ, νηστείαν και άσκησιν, ακριβή ενδεικνύμενος, και μητρός τον πόθον ουδέν ηγησάμενος, εν σεμνείω φέρων, σαυτόν λάθρα δέδωκας. Πάλιν δε μηνύει σε Θεός τη μητρί σου, θρηνούση την στέρησίν σου δικαίως πανάριστε, η και νυν συνηδόμενος· πρέσβευε Χριστώ τω Θεώ, των πταισμάτων άφεσιν δωρήσασθαι, τοις εορτάζουσι πόθω την αγίαν μνήμην σου.

Δόξα. Και νυν. Προεόρτιον. Ανέστης εκ νεκρών.

Ετέχθης εκ μητρός, ο προάναρχος Λόγος, προσήχθης τω ναώ, ο ακατάληπτος φύσει. Χαίρων δε ο πρεσβύτης εν ταις αγκάλαις σε υπεδέξατο, κράζων· Νυν απολύεις, ον επεσκέψω κατά το ρήμά σου, ο ευδοκήσας σώσαι ως Θεός, το γένος των ανθρώπων.

Η. Ήχος α' . Του λίθου σφραγισθέντος.

Εν τω ναώ προσηνέχθης η ζωή των απάντων, δι' εμέ νηπιάσας υπό νόμον εγένου, ο πάλαι χαράξας εν πλαξί, τον νόμον εν τω όρει τω Σινά, ίνα πάντας απαλλάξης, εκ της του νόμου πάλαι δουλείας. Δόξα τη ευσπλαγχνία σου Σωτήρ, δόξα τη βασιλεία σου, δόξα τη οικονομία σου μόνε φιλάνθρωπε.

Η το Θεοτοκίον. Ο αυτός.

Την ψυχήν μου Παρθένε την ταπεινήν, την εν ζάλη του βίου των πειρασμών, νυν ως ακυβέρνητον, ποντουμένην τω κλύδωνι, αμαρτιών τω φόρτω, οφθείσαν υπέραντλον, και εν πυθμένι άδου, ελθείν κινδυνεύουσαν, φθάσον Θεοτόκε, πρεσβειών σου ελέει, γαλήνην παρέχουσα και κινδύνων εξαίρουσα. Συ λιμήν γαρ αχείμαστος, πρεσβεύουσα τω Σω Υιώ και Θεώ, των πταισμάτων άφεσιν δοθήναί μοι, Σε γαρ έχω ελπίδα ο δούλός σου.

Είτα, τίθεται ανάγνωσις.

Ωδή δ' . Συ μου ισχύς Κύριε.

Ρώμη Θεού δυναμωθείς, παναοίδιμε των δυνάμεων, φάλαγγας συνέκοψας, και ηδονών άπασαν πυράν, και σαρκός ορέξεις, ασκήσει εναπεμάρανας. Διο σε συνελθόντες, ευφημούμεν τρισμάκαρ, και την μνήμην σου πίστει δοξάζομεν.

Ανατραφείς Άγγελος ώσπερ εν σώματι, των γηΐνων άπασαν διέπτυσας, απατηλήν δόξαν και ρευστήν, και τρυφήν και πλούτον, ως όναρ μάκαρ λελόγισαι, εντεύθεν θεηγόρος, και προφήτης και μύστης, των Θεού μυστηρίων γεγένησαι.

Ίνα τον σον, έρωτα Πάτερ προς Κύριον, αναφθέντα ζήλω θείω πίστεως, εναποσβέση ταις μηχαναίς, ο εχθρός επήλθε, πολυειδώς αλλ' απέρριπται, και γέλως καθωράθη, συντριβείς τοις ποσί σου, αηττήτω δυνάμει του Πνεύματος.

Θεοτοκίον.

Ρύσαι φθοράς, και παγίδων με Δέσποινα, του δολίου σκέπουσα πρεσβείαις σου, ταις προς τον σον, Πάναγνε, Υιόν, και Θεόν των όλων. Εις σε γαρ πάσαν ανέθηκα την μόνην Θεοτόκον, σωτηρίας ελπίδα και προς σε καταφεύγω Θεόνυμφε.

Ο β' τοῦ Οσίου Λουκά. Χριστός μου δύναμις.

Άκακος Όσιος, ευθύς και ήμερος, και ακέραιος ώφθης Πάτερ Λουκά· όθεν μεμακάρισαι, παρά του πάντων Ποιητού, και Δεσπότου παμμακάριστε.

Ιδών ο φθόνος σε, καλώς διάγοντα, την ζωήν εξεκαύθη και πειρασμών, πλήθός σοι εξήγειρεν, αλλ' εξηλέγχετο κενός λύκος, μάτην το του λόγου χανών.

Νοός ευθύτητι, τον βίον ίθυνας, προς τα κρείττω παμμάκαρ των εφετών, πάντων το ακρότατον, επιποθών Πάτερ ιδείν, ου ευστόχως και τετύχηκας.

Θεοτοκίον

Ωραίαν κάλλει σε, πασών ευράμενος, γυναικών ο ωραίος Κόρη σεμνή, σου την Μητραν ώκησε, και δυσμορφίας με παθών, και του σκότους ελυτρώσατο.

Ωδή ε’ . Ίνα τι με απώσω.

Ως ακλόνητος πύργος, έστης απερίτρεπτος αύραις του δράκοντος, ως στερρός οπλίτης, αντετάξω τοις τούτου στρατεύμασι, και εις τέλος τούτον, καταβαλών δυνάμει θεία, τον της νίκης απείληφας στέφανον.

Τον φιλόξενον τρόπον, Αβραάμ εζήλωσας μακαριώτατε, τους απανταχόθεν προσιόντας προθύμως δεχόμενος, και προβλέπων τούτων, και προρών τας επελεύσεις, ανεκήρυττες πάσι τρανότατα.

Ως Θεού μιμητήν σε πόθω μακαρίζομεν Πάτερ θεόπνευστε, ως σοφόν προστάτην, οικονόμον ψυχών προμηθέστατον, ως φωστήρα θείον, και οδηγόν των πλανωμένων, και φρουρόν των πιστών ασφαλέστατον.

Θεοτοκίον.

Νεκρωθείσα την φύσιν, την της ανθρωπότητος τη παραβάσει το πριν, ως Θεόν τεκούσα, της ζωής αρχηγόν ανεζώωσας, Θεοτόκε μόνη, των ουρανών υψηλοτέρα, και προς κάλλος το πρώτον ανήγαγες.

Ο β’ τοῦ Οσίου Λουκά. Τω θείω φέγγει σου αγαθέ.

Την των καμάτων σου αμοιβήν, παρά του πλουσίου Δοτήρος, απολαβών Πάτερ Όσιε, πέλαγος θαυμάτων πάσιν εδείκνυσο, τας νόσους αφανίζων των προσιόντων σοι.

Ου κατενάρκησας του εχθρού, Πάτερ ταις μυρίαις προσβολαίς, ου κατεπλάγης την έπαρσιν, έστης δε ως πύργος στερρός ακλόνητος, ταπείνωσιν ως θώρακα ενδυσάμενος.

Καλώς τελέσας τον ιερόν, βίον σου Παμμάκαρ, και λαβών από Θεού την ανταπόδοσιν, χάριν ιαμάτων, τυφλούς εφώτισας, χωλούς και παραλύτους αποτελών υγιείς.

Θεοτοκίον

Λαοί υμνείτε την αληθώς, τέξασαν τον Λογον του Θεού, ανερμηνεύτως και μείνασαν, πάλιν μετά τόκον Παρθένον άφθορον, ως πάντων προστασίαν και σωτηρίαν βροτών.

Ωδή στ’ . Ιλάσθητί μοι Σωτήρ.

Μωσέως και Ηλιού, κατ’ ίχνος Πάτερ εβάδισας, μεταναστεύων εν γη, σπηλαίοις και όρεσιν εναποκρυπτόμενος, προς πολλών τε αύθις, σωτηρίαν φανερούμενος.

Ο νους σου θεοειδής, ο βίος όλος ασύγκριτος, ο λόγος θεοτερπής, ο βίος ισάγγελος, κανών ακριβέστατος, η ση πολιτεία, αρετής απάσης δέδεικται.

Νοσούντά με χαλεπώς, και πάθεσιν αμαυρούμενον, φωτί των σων πρεσβειών, λαμπρύνας θεράπευσον, ιατρός ως άριστος, ως Θεού θεράπων, ασκητών ως ακροθίνιον.

Θεοτοκίον.

Ανάρχου Πατρός Υιόν, συνάναρχον απεκύησας, δημιουργόν του παντός, Θεόν αναλλοίωτον δι’ ημάς γενόμενον, καθ’ ημάς Παρθένε, ανεικάστω αγαθότητι.

Ο β’ τοῦ Οσίου Λουκά. Του βίου την θάλασσαν.

Ελύθη η πάλαι σοι, δολιόφρον καθ' ημών, ισχύς και φρούδα γέγονε, τα πολλά σου σοφίσματα πονηρέ· ιδού γαρ απλούστατος, και απόνηρος νέος σε κατέβαλε.

Ουκ έδωκας Όσιε, σοις βλεφάροις νυσταγμόν, ουδέ κροτάφοις άνεσιν, έως πάσαν κατέβαλες μηχανήν, του πλάνου ποικίλους σοι, πειρασμούς καθ' εκάστην εξεγείροντος.

Σωφρόνως διήνυσας, σου τον βίον και καλώς, φιλοξενών εκάστοτε, ελεών τε πλουσίως και δαψιλώς· διο και τετύχηκας, αφθαρσίας και δόξης ακηράτου Λουκά.

Θεοτοκίον

Τριάδος γεγέννηκας, συ τον ένα σαρκικώς, Θεοκυήτορ Παναγνε, υπέρ νουν τε και λόγον· διο βοώ, Τριάδος της θείας με, ταις πρεσβείαις σοι δείξον οικητήριον.

Κοντάκιον. Ήχος δ’ . Τη Υπερμάχω.

Ο εκλεξάμενος Θεός προ του πλασθήναί σε, εις ευαρέστησιν Αυτού, οι οίδε κρίμασι, προσλαβόμενος εκ μήτρας καθαγιάζει, και οικείον εαυτού δούλον δεικνύει σε κατευθύνων σου Λουκά, τα διαβήματα, ο φιλάνθρωπος· ω νυν χαίρων παρίστασαι.

Ο οίκος.

Ω Πατέρων αρίστη καλλονή και σεμνότης, ω πάντων ασκητών κοσμιότης. Χριστού τας εντολάς γαρ πληρώσαντος, πως υμνήσω την σην βιοτήν, ένδοξε, μη έχων λόγων δύναμιν; Αλλ’ όμως σοι θαρρών βοήσω·

Χαίρε, λαμπρόν μοναζόντων κλέος·

χαίρε. πιστών οδηγέ και λύχνε.

Χαίρε, της ερήμου τερπνότατον βλάστημα·

χαίρε, οικουμένης λαμπτήρ φαεινότατε.

Χαίρε, ότι κατεφρόνησας των ρεόντων και φθαρτών·

χαίρε, ότι τα ουράνια συν Αγγέλοις κατοικείς.

Χαίρε· των αθυμούντων ταχινέ παρακλήτορ·

χαίρε, των εν κινδύνοις ποθεινέ παραστάτα.

Χαίρε, σεπτόν δοχείον του Πνεύματος·

χαίρε, κλεινόν Χριστού οικητήριον.

Χαίρε, δι’ ου δόσις πάσα ηυγάσθη·

χαίρε, δι’ ου ο Θεός εδοξάσθη.

Ω νυν χαίρων παρίστασαι.

Συναξάριον.

Τη εβδόμη του αυτού μηνός, μνήμη του Οσίου Πατρός ημών Λουκά, του εν τω Στειρίω της Ελλάδος ασκήσαντος, και καλώς τελειωθέντος.

Στίχοι:

Έπλησε Λουκάς θαυμάτων την Ελλάδα, ος ουδέ νεκρός παύεται των θαυμάτων. Εβδοάτη Λουκάς Φεβρουαρίοιο μετέστη.

Ωδή ζ’ . Θεού συγκατάβασιν.

Σύνεσει κοσμούμενος, και σωφροσύνη, περιαστράπτων φωτί, ώσπερ ήλιος ώφθης, καταφωτίζων κόσμου τα πέρατα, και τοις

Αγγέλοις συμψάλλων γηθόμενος· Ευλογητός ο Θεός, ο των Πατέρων ημών.

Την χάριν επλούτησας, των ιαμάτων εξ αεννάου πηγής, θεραπεύειν τας νόσους και άπελαύνειν κακίας τα πνεύματα, λεπρούς καθαίρειν, τυφλοίς την ανάβλεψιν, αφθόνως νέμων σοφέ, και μεταστάς από γης.

Ως όρθρος ως άδυτος, αστήρ εκλάμψας, πάσαν κατηύγασας οικουμένην, ακτίσι των χαρισμάτων, του θείου Πνεύματος, αποκαλύπτων μελλόντων την δήλωσιν, τα κεκρυμμένα προς φως εξάγων χάριτι.

Θεοτοκίον.

Ναός αγιώτατος του θείου Πνεύματος γέγονας, υπέρ φύσιν ατρέπτως, εν σοι του λόγου κατασκηνώσαντος, και εν ουσίαις δυσίν αναλάμψαντες, εκ σου υπέρ νουν θεοχαρίτωτε.

Ο β' τοῦ Οσίου Λουκά. Οι Παίδες εν Βαβυλώνι.

Η θήκη των σων λειψάνων, Λουκά πηγή αναδέδεικται, ιαμάτων εν η πας προστρέχων, εκλυτρούται παντοίων παθών, σε μακαρίζων Όσιε, και ημών τον Δεσπότην Χριστόν.

Σημείοις μεγίστοις Πάτερ, εδόξασέ σε ο Κύριος ον εδόξασας συ, δια πόνων της ασκήσεως πρότερον· Ευλογητός γαρ έκραζες, ο Θεός των Πατέρων ημών.

Εν βίω περιφανής τε, και εν τοις θαύμασι μέγιστος, και εν πάσι καλοίς ανεδείχθης, απαράμιλλος Όσιε, διο των πόνων εύρηκας, αμοιβήν βασιλείαν Θεού.

Θεοτοκίον

Λαόν και πόλιν σου σώζε, Θεοκυήτορ πανάμωμε, προστασία ημών των εν πίστει, αδιστάκτω βοώντων σοι· Ευλογημένος Πάναγνε, ο καρπός της κοιλίας σου.

Ωδή η . Επταπλασίως κάμινον.

Της ουρανίου Άγιε, απολαύων φαιδρότητος, και της των Αγίων μακαρίας λήξεως, χαράς τε και στάσεως, της των Οσίων και Προφητών, ίλεως ημίν και ευμενή τον Δεσπότην, απέργασαι πρεσβείαις, ευπροσδέκτοις σου όπως, συν σοι της αιωνόυ ζωής αξιωθώμεν.

Ολολαμπής ως ήλιος, τω Θεώ παριστάμενος, υπέρ της σης ποίμνης, εκτενώς ικέτευε, κινδύνων και θλίψεων, και των σκανδάλων του πονηρού, των επερχομένων ανωτέραν οφθήναι, εν σοι εγκαυχωμένην, και θερμόν σε προστάτην και πρέσβυν κεκτημένη, Λουκά εις τους αιώνας.

Κατά παθών ενίσχυσον, και εχθρών αοράτων τε και των ορωμένων, το πιστόν σου ποίμνιον, φυλάττων ακράδαντον, συν τω ποιμένι και τον χορόν, τον περικυκλούντα την αγίαν σου θήκην, και πόθω μελωδούντα· Ιερείς ευλογείτε, λαός υπερυψούτε εις πάντας τους αιώνας.

Θεοτοκίον.

Λύσον ψυχής μου πάναγνε, την ζοφώδη κατήφειαν, και των λογισμών την καταιγίδα πράϋνον, τα νέφη διώκουσα της εμπαθούς καρδίας μου, και προς μετανοίας οδηγούσά με τρίβους,

σωζόμενός σε όπως, ανυμνώ και δοξάζω, την μόνην Θεοτόκον αεί ευλογημένην.

Ο β' τοῦ Οσίου Λουκά. Νόμων πατρώων οι μακαριστοί.

Λυμην παντοίου πάθους ένδοξε, αποδιώκεις Πατερ Λουκά μακάριε, τους λεπρώντας εξιώμενος, ρωννύων ασθενούντας, και παρειμένους λύων του κατέχοντος δεσμού, και κυλλούς και χωλούς ομού, και τυφλούς θεραπεύων. Τον Κυριον υμνείτε βοώντας, και υπερυψούτε, εις πάντας τους αιώνας.

Άπονον εύρες δόξαν Όσιε, πόνους πολλούς υποίσας και αγωνίσματα, αγρυπνίαν τήξιν σώματος, νηστείαν κακουχίαν, χαμαικοιτίαν, πάσαν άλλην πίεσιν σαρκός, δι' αγάπην του κτίσαντος, ω συνών συνευφραίνη· αυτόν ουν εκδυσώπει σωθήναι, πάντας τους εν πίστει, και πόθω σε υμνούντας.

Δια ποικίλων πόνων Όσιε, των αρετών εισήχθης εις την ουράνιον, βασιλείαν ευφραινόμενος, τανύν εις τους αιώνας, και του Δεσπότου πάντοτε τρυφών ταις καλλοναίς, συν Αγγέλοις μελώδημα τον Τρισάγιον άδεις· Τον Κυριον υμνείτε τα έργα, και υπερυψούτε, εις πάντας τους αιώνας.

Θεοτοκίον

Ουκ αποστάντα τον αχώριστον, εκ του πατρώου κόλπου Αγνή γεγέννηκας, απειράνδρως ανεκφράστως τε, βροτόν τέλειον όντα, ον εκδυσώπει, δούναί μοι ισχύν, των πονηρών λογισμών, προσβολήν πάσαν καταβαλείν εις τέλος, και θέλημα το θείον εκείνου, πράττειν καθ' εκάστην, ίνα σε δοξάζω, εις πάντας τους αιώνας.

Ωδή θ’ . Εξέστη επί τούτω ο ουρανός.

Εξέστησας Αγγέλους επί της γης, ώσπερ Άγγελος πολιτευσάμενος, βίω λαμπρώ, Πάτερ θεοφόρε θαυματουργέ, σαρκός απαρνησάμενος, πάσαν ηδυπάθειαν και στοργήν. Διο συν Αποστόλοις, τω θεόνω του Δεσπότου, παρεστηκώς ημών μνημόνευε.

Ο πόθος σε θεόφρον ο θεϊκός, ώσπερ πυρ αναφλέξαι επτέρωσε τα νοητά, κάλλη εφιέμενον κατιδείν, και προς μονάς κατέστησε, τας επουρανίους ένθα Λουκά, Αγγέλοις συγχορεύων, υμνείς ακαταπαύστως, τον θεία δόξη σε δοξάσαντα.

Σκηνάς τας υπερλάμπρους νυν κατοικών, ένθα φως το ανέσπερον Άγιε οπού χοροί, των εορταζόντων διηνεκώς, όπου δικαίων τάγματα, μέμνησο των πόθω σου την σεπτήν, τελούντων θεοφόρε, Λουκά αγίαν μνήμην, και πίστει μακαριζόντων και τιμώντων σε.

Θεοτοκίον.

Συνέλαβες αφράστως τον του παντός, συνοχέα πανύμνητε Δέσποινα θαύμα φρικτόν, σάρκα ενδυσάμενον εκ των σων αιμάτων, Παναμώμητε, των υπεραχράντων υπερφυώς, διο σε Θεοτόκον, αληθώς και Κυρίως, δοξολογούντες μεγαλύνομεν.

Ο β’ τοῦ Οσίου Λουκά. Θεόν ανθρώποις ιδείν αδύνατον.

Σους πόνους Πάτερ και αγωνίσματα, τις εξειπείν δυνήσεται βροτών ων αντάξιον, τον μισθόν εκομίσω παρά Θεού; γέγονας γαρ δοχείον, του θείου Πνεύματος· Όσιος, ευθύς, αληθινός, δίκαιος, άμεμπτος.

Απλούν το ήθος και απονήρευτον, και ταπεινόν, ελέους τε μεστόν προς τους πένητας, και φιλόξενόν τε και φιλέρημον, ήσυχον πράον όντως, Πάτερ ενέδειξας· όθεν συνετάγης Αβραάμ και Ιακώβ και Δαυΐδ.

Μοναίς εκείναις ως αυλιζόμενος, ταις ορεκταίς και κάλλους θεϊκού εμπιπλάμενος, Παραδείσου τε θείου τοις άνθεσι, νυν εντρυφών εις κόρον, και αγαλλόμενος, μνείαν προς Θεόν υπέρ ημών ποιού Πανόλβιε.

Τριαδικόν.

Η μία φύσις η τρισυπόστατος, η τριλαμπής ουσία και αχώριστος δύναμις, ο Πατήρ ο Υιός και το Άγιον Πνεύμα, μία Θεότης, σώζε τους πίστει σε, ένα μεγαλύνοντας Θεόν, εν χαρακτήρσι τρισί.

Θεοτοκίον.

Νοείν ου σθένει σου το μυστήριον, βρότειος νους Παρθένε Θεοτόκε πανύμνητε· προ γαρ τόκου ανάνδρως συνέλαβες, έμεινάς τε Παρθένος, και μετά κύησιν, τέτοκας δε Λογον τω Πατρί τον συναΐδιον.

Εξαποστειλάριον. Γυναίκες ακουτίσθητε.

Μονάσας εκ νεότητος, και τον Σταυρόν αράμενος, εμάκρυνας εν ερήμω, Λουκά φωστήρ μοναζόντων, εγκρατεία δε πάση, το χείρον δουλωσάμενος, τω κρείττονι θεόληπτε, ως εφικτόν συνεκράθης, τη απροσίτω Τριάδι.

Και της εορτής.

Πληρών σου την απόρρητον, οικονομίαν Κύριε, εν τω ναώ προσηνέχθης, υπό μητρός απειράνδρου, ιδών δε σε εκραύγαζεν, ο πρέσβυς· Νυν απόλυσον, τον δούλόν σου ω Δέσποινα, Σωτήρ γαρ ήλθες του κόσμου, το πατρικόν φως Χριστέ μου.

Η Θεοτοκίον.

Και σχετικώς ασπάζομαι, και πόθω την προσκύνησιν, προσνέμω πίστει Παρθένε, τη Παναχράντω και θεία, Εικόνι Σου πανάμωμε, αφ' ης ψυχών εκβλύζουσι, και των σωμάτων Δέσποινα, ιάματα τοις υμνούσι, Σε Θεοτόκον κυρίως.

Εις τους αίνους. Ήχος δ' . Ο εξ Υψίστου κληθείς.

Ο θεοφόρος ημάς νυν συγκαλείται Πατέρων ο μέγιστος, Λουκάς συνδράμωμεν όλη, ψυχή και καρδία τε, και διαθέσει, ψαλμοίς και ύμνοις πανηγυρίζοντες, και θείως δοξάζοντες τον μεγαλύναντα, την ιεράν αυτού κοίμησιν, και μυροθήκην, την των λειψάνων λάρνακα δείξαντα. Διο τα πάθη και τα τραύματα, των νοσούντων σαφώς δραπετεύουσι, και δαιμόνων το στίφος, τοις πιστοίς αποδιώκεται. (Δις).

Όλην εκκλίνας του βίου την απάτην όλος τε του μέλλοντος, Λουκά γενόμενος όλην, εδέξω του Πνεύματος, του παναγίου, χάριν την άφθονον και α μένοντα, πάντοτε

σκοπούμενος, αγχίνους οία κριτής, προσκατακτώμενος μάλιστα, των επικήρων πάντων ηλόγησας, όθεν ένδοξε, της μακαρίας ου διήμαρτες, μετά πότμον, και όντως εφέσεως. Διο πρέσβευε Πάτερ, υπέρ πάντων των τιμώντων σε.

Φως μεν δικαιοις ανέκλειπτον υπάρχει και σε δε μακάριε, φως χρηματίσαντα, και σκότος όντως εκκλίναντα, των εσπερίων, φως διεδέξατο το αΐδιον, ισάγγελον βίον δε, μεταδιώξας εν γη, την μετ' Αγγέλων επλούτησας, νυν θείαν λήξιν, και τω Δεσπότη Χριστώ παρίστασαι, μετ' ευφροσύνης τον τρισάγιον, συν αυτοίς ύμνον άδων αλήκτως Λουκά, ω πρεσβεύειν απαύστως, μη ελλίποις υπέρ πάντων ημών.

Δόξα. Ήχος πλ. β' .

Όσιε Πάτερ, εις πάσαν την γην εξήλθεν ο φθόγγος των κατορθωμάτων σου. διο εν τοις ουρανοίς εύρες μισθόν των καμάτων σου, των δαιμόνων ώλεσας τας φάλαγγας, των Αγγέλων έφθασας τα τάγματα, ων τον βίον αμέμπτως εζήλωσας, παρρησίαν έχων προς Χριστόν, ειρήνην αίτησαι ταις ψυχαίς ημών.

Και νυν. Της εορτής. Γερμανού

Ο εν χερσί πρεσβυτικαίς, την σήμερον ημέραν, ως εφ' άρματος Χερουβίμ, ανακλιθήναι ευδοκήσας Χριστέ ο Θεός, και ημάς τους υμνούντάς σε, της των παθών τυραννίδος, ανακαλούμενος ρύσαι, και σώσον τας ψυχάς ημών.

Η το: Θεοτόκε Συ ει η άμπελος...

Δοξολογία μεγάλη και απόλυσις.

**Εις την Λειτουργίαν**

Τα τυπικά. Εις τους μακαρισμούς, η γ' τῆς εορτής και η στ' τοῦ Αγίου· η γ' και στ' ωδὴ του Αγίου.Απόστολος και Ευαγγέλιον του Αγίου Σάββα. Κοινωνικόν: Εις μνημόσυνον αιώνιον...